καθ' ἡμέραν ὤλοντο παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους νέμω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πρύμναν εὐθύνων πόλεως
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλήσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μεῖζον ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ,
οὔτ' ἂν σιωπήσαιμ' ὁρῶν ἄτην τινὰ
στείχουσαν ἆσσον ἀντὶ τῆς σωτηρίας,

εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι. Qu. εὐμενεῖς. Eur. Alc. 212. ὥστ' ἐν κακοῖσιν εὐμενεῖς (ἔμπεδοι?) παρεστάναι.

171. παίσαντες (litterae αίσ pro duabus litteris elutis substitutae ab S.) L. πλήξαντες conj. Mein., coll. Aesch. Sept. 961. παίσας ἐπαίσθης. Primum scriptum fuerat, opinor, πλήξαντες.

173. κράτη δὴ πάντα] Qu. κράτη τε πάντα, ut in O. R. 237. ἔχω] Qu. νέμω. Cf. O. R. 237. ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω. Aj. 1015. ὡς τὰ σὰ | κράτη θανόντος καὶ νόμους (l. θρόνους) νέμοιμι σούς.

174. ἀγχιστεῖα] Solennis formula est κατ' ἀγχιστείαν. Isaeus I. 45. διὰ τὴν τοῦ γένους ἀγχιστείαν. Dem. p. 1051. Plat. Legg. 924 D. et E. Arist. Av. 1661.

178. πᾶσαν εὐθύνων πόλιν mss. Correxi πρύμναν εὐθύνων πόλεως. Cf. Aesch. Sept. 2. 761. Suppl. 344. 180. ἐγκλείσας mss. ἐγκλήσας Dind.

182. μεῖζον L. pr. μείζον' corr. m. rec. ἀντὶ mss. Lege κτῆμα. αὐτοῦ mss. Dedi αὑτοῦ.

183. λέγω mss. νέμω F. W. Schmidt. Cf. Aesch. Pers. 492. θεοὺς δέ τις | τὸ πρὶν νομίζων οὐδαμοῦ τότ' ηὔχετο —. Eur. Andr. 210.

185. σιωπήσαιμι τὴν ἄτην ὁρῶν mss. Correxi σιωπήσαιμ' ὁρῶν ἄτην τινά.

186. ἀστοῖς mss. Correxi ἆσσον. Offendit dativus post στείχουσαν. Cf. Dem. Or. XIX. 248. τὴν δὲ ἄτην ὁρῶν στείχουσαν ὁμοῦ. Unde ἆσσον scripsisse Sophoclem jure suspicatur Dobraeus.